τὸν Ἥφαιστον ‘ἄνευ χαρίτων’ ἐκ τῆς Ἥρας γενέσθαι· καὶ τὴν οὔπω γάμων ἔχουσαν ὥραν ἡ Σαπφὼ (fr. 34. I p. 347 D.) προσαγορεύουσά φησιν ὅτι

‘σμίκρα μοι πάις ἔμμεν ἐφαίνεο κἄχαρις’.

ὁ δ’ Ἡρακλῆς ὑπό τινος ἐρωτᾶται (Trag. adesp. 402)

‘βίᾳ δ’ ἔπραξας χάριτας ἢ πείσας κόρην;’

ἡ δ’ ἀπὸ τῶν ἀρρένων ἀκόντων ⟨μὲν⟩ μετὰ βίας γινομένη καὶ λεηλασίας, ἂν δ’ ἑκουσίως, σὺν μαλακίᾳ καὶ θηλύτητι, ‘βαίνεσθαι’ κατὰ Πλάτωνα (Phaedr. 250 e) ‘νόμῳ τετράποδος καὶ παιδοσπορεῖσθαι’ παρὰ φύσιν ἐνδιδόντων, E ἄχαρις ⟨χάρις⟩ παντάπασι καὶ ἀσχήμων καὶ ἀναφρόδιτος. ὅθεν, οἶμαι, καὶ Σόλων ἐκεῖνα μὲν ἔγραψε νέος ὢν ἔτι καὶ ‘σπέρματος πολλοῦ μεστός’ ὡς ὁ Πλάτων (Leg. VIII 839 b) φησί· ταυτὶ δὲ πρεσβύτης γενόμενος (fr. 26. I p. 32 D.)·

‘ἔργα δὲ Κυπρογενοῦς νῦν μοι φίλα καὶ Διονύσου
καὶ Μουσέων, ἃ τίθησ’ ἀνδράσιν εὐφροσύνας’,

ὥσπερ ἐκ ζάλης καὶ χειμῶνος [καὶ] τῶν παιδικῶν ἐρώτων ἔν τινι γαλήνῃ τῇ περὶ γάμον καὶ φιλοσοφίαν θέμενος τὸν βίον. Εἰ μὲν οὖν τὸ ἀληθὲς σκοποῦμεν, ὦ Πρωτόγενες, ἓν καὶ ταὐτόν ἐστι πρὸς παῖδας καὶ γυναῖκας πάθος τὸ τῶν Ἐρώτων· εἰ δὲ βούλοιο φιλονεικῶν διαιρεῖν, οὐ F